**κρανέειν.** Ἐκφράζω/φανερώνω, express/reveal, Ἐμπεδοκλῆς 111.2 *ἐπεὶ μούνῳ σοὶ ἐγὼ κ ρ α ν έ ω τάδε πάντα.*

**κρᾶσις** (τύπ. *κρῆσις*). Σύγκραση/σύσταση, blend/composition, Παρμενίδης 16.1 *ὡς γὰρ ἑκάστοτ' ἔχει κ ρ ᾶ σ ι ς μελέων πολυπλάγκτων, τὼς νόος ἀνθρώποισι παρίσταται* Ἐμπεδοκλῆς 21.14 *αὐτὰ γὰρ ἔστιν ταῦτα, δι' ἀλλήλων δὲ θέοντα γίγνεται ἀλλοιωπά· τόσον διὰ κ ρ ῆ σ ι ς ἀμείβει* 22.4-7 *ὡς δ' αὔτως ὅσα κ ρ ῆ σ ι ν ἐπαρκέα μᾶλλον ἔασιν, ἀλλήλοις ἔστερκται ὁμοιωθέντ' Ἀφροδίτῃ. ἐχθρὰ ⟨δ' ἃ⟩ πλεῖστον ἀπ' ἀλλήλων διέχουσι μάλιστα γέννῃ τε κ ρ ή σ ε ι τε καὶ εἴδεσιν ἐκμάκτοισι* Δημόκριτος Α 135 (DK II 116,28) περὶ δὲ τοῦ φρονεῖν ἐπὶ τοσοῦτον εἴρηκεν ὅτι *γίνεται συμμέτρως ἐχούσης τῆς ψυχῆς κατὰ τὴν κ ρ ῆ σ ι ν* Α 135 (DK II 117,35) ἔτι δ' *αὐτοὺς μεταβάλλειν τῇ κ ρ ή σ ε ι κατὰ τὰ πάθη καὶ τὰς* ἡλικίας. Πρβλ. *κεραννύναι, μειγνύναι, μίξις, διακρίνεσθαι.*

**κρατεῖν 1.** Ἐπικρατῶ/κυβερνῶ, prevail/govern, Ἡράκλειτος 114.4 *τρέφονται γὰρ πάντες οἱ ἀνθρώπειοι νόμοι ὑπὸ ἑνὸς τοῦ θείου· κ ρ α τ ε ῖ γὰρ τοσοῦτον ὁκόσον ἐθέλει καὶ ἐξαρκεῖ πᾶσι καὶ περιγίνεται* **2.** Ἰσχύω, be valid, Ἐμπεδοκλῆς 4.1 *ἀλλὰ κακοῖς μὲν κάρτα μέλει κ ρ α τ έ ο υ σ ι ν ἀπιστεῖν* 17.29 καὶ 26.1 *ἐν δὲ μέρει κ ρ α τ έ ο υ σ ι περιπλομένοιο χρόνοιο* Ἀναξαγόρας Α 100 (DK II 29,33) ἀνάγκη ἄρα, ἐπεὶ πάντα νοεῖ, ἀμιγῆ εἶναι ... ἵνα *κ ρ α τ ῇ* 12.8-13 *καὶ ἂν ἐκώλυεν αὐτὸν* (sc. *τὸν νοῦν*) *τὰ συμμεμειγμένα, ὥστε μηδενὸς χρήματος κ ρ α τ ε ῖ ν ὁμοίως ... καὶ τῆς περιχωρήσιος τῆς συμπάσης νοῦς ἐ κ ρ ά τ η σ ε ν, ὥστε περιχωρῆσαι τὴν ἀρχὴν* **3.** Ἐπικρατῶ/συγκροτῶ, prevail, Ἀναξαγόρας 12.12 *καὶ ὅσα γε ψυχὴν ἔχει καὶ τὰ μείζω καὶ τὰ ἐλάσσω, πάντων νοῦς κ ρ α τ ε ῖ* Διογένης 5.3 *καί μοι δοκεῖ τὸ τὴν νόησιν ἔχον εἶναι ὁ ἀὴρ καλούμενος ὑπὸ τῶν ἀνθρώπων, καὶ ὑπὸ τούτου πάντας καὶ κυβερνᾶσθαι καὶ πάντων κ ρ α τ ε ῖ ν* **4.** Συγκρατῶ/κυριαρχῶ, control/be master of, Δημόκριτος 236 *θυμῷ μάχεσθαι μὲν χαλεπόν· ἀνδρὸς δὲ τὸ κ ρ α τ έ ε ι ν εὐλογίστου.*

**κρατερός** (συνών. *ἰσχυρός*, ἀντίθ. *ἀσθενής*). Ἰσχυρὸς/δυναστικός, powerful/mighty, Παρμενίδης 8.30 *κ ρ α τ ε ρ ὴ γὰρ Ἀνάγκη πείρατος ἐν δεσμοῖσιν ἔχει.* Πρβλ. *αὐτοκρατής.*

Ακαδημία Αθηνών / Academy of Athens
ΑΚΑΔΗΜΙΑ ΑΘΗΝΩΝ